54 (37 Bl. 2 Bgk.)

metrum: dactyloepitr.: E|_e (vel|(_)D . . .)

*ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χ|ρόνον.*

55 (37 A Bl. adesp. 86 Bgk. = PMG 959)

metrum: dactyloepitr.? E_|E_|D|

*οὐ γὰρ ἐν μέσοισι κεῖται*
*δῶρα δυσμάχητα Μοισᾶν*
*τὠπιτυχόντι φέρειν.*

56 (37 B Bl.)

*ἀρετὰ γὰρ ἐπαινεομένα δένδρον ὣς ἀέξεται.*

57 (ad fr. 14 Bl.)

metrum: iambi?

*Ἀλάθεια θεῶν ὁμόπολις,*
*μόνα θεοῖς συνδιαιτωμένα.*

58 (ad fr. 1 Bl., 5 Bgk.)

Schol. Aristid. 3, 317, 36 Dind. *ἄλλοι δὲ λέγουσιν ὡς* (*τὸ ἅρμα*) *ἐκ Σικελίας ἐφάνη τὴν ἀρχήν· Βακχυλίδης γὰρ καὶ Πίνδαρος Ἱέρωνα καὶ Γέλωνα, τοὺς Σικελίας ἄρχοντας, ὑμνήσαντες καὶ πλεῖστα θαυμάσαντες ἐν ἱππηλασίᾱι, πρὸς χάριν αὐτῶν εἶπον ὡς Σικελιῶται πρῶτοι ἅρμα ἐξεῦρον* (cf. 3, 317, 31?)



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404552536/118 UNIVERSITÄT LEIPZIG